1 ecl. cum lemm. hab. SM; lemma compend. S. iteratur ecloga et lemma *Ἀπολλωνίου* corp. Par. 679 Elt. ‖ **2** *ποιεῖσθε* (ut coniecit Meineke v. IV p. LXIV) S: *ποιεῖσθαι* M Tr. p. 175 corp. Par. ‖ **4** *ἀλλ'* S: *ἀλλὰ* M corp. Par. ‖ **5** ecl. sine lemm. hab. S, addito lemm. M, om. A ‖ **7** *κακόδαιμον* (sine acc. M) *ἔφη* M Tr.: *κακόδαιμον ὢν ἔφη* S dittographia ut videtur, nisi praeoptes *κακοδαιμονῶν* cum Buechelero ‖ **10** ecl. sine lemm. hab. S, addito lemm. M; sine lemm. etiam Mac. Chrys. sed post ecl. 35, 1 ‖ **11** *ὅπου* M ‖ **13** ecl. cum lemm. hab. S post ecl. 15, Tr. p. 176 post ecl. 16 Mein. (inde vulg.), om. M A. ex parte concordat cum Ps.-Plut. vit. Hom. c. 149, vide Diels dox. p. 97 sqq. ‖ **14** *διὰ τούτων* compend. S: *διὰ τούτου* Tr., inde vulg. ‖ **15** Il. II 246 sq. ‖ **17** *βασιλῆι* S *βασιλεῦσιν* Hom. ‖ **19** Od. XIX 40 | *θεῶν* S *θεὸς* Hom. ‖ **21** Od. XIX 42 sq. ‖ **23** *ἐκσίγησιν* Gomperz *Wien. stud.* II p. 12 coll. Eustath. Od. XXIV 485 p. 1968, 25 opusc. p. 95, 18: *ἐξήγησιν* S

νοντο τοῖς περὶ θεῶν ὅ τι τύχοιεν ἰταμῶς καὶ εὐχερῶς ἐρωτῶσιν.

17 (33, 16 Mein.) *Δημοσθένους* (?).

Μὴ νομίσητέ με, ὦ Ἀθηναῖοι, ἀγνοεῖν, ὅτι ἀσφαλὲς τὸ σιγᾶν ἐστι.

CAPVT XXXIV.

ΠΕΡΙ ΤΟΥ ΕΥΚΑΙΡΩΣ ΛΕΓΕΙΝ.

1 *Διονυσίου* (fr. 6 p. 795 N.²).

Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε.

2 *Εὐριπίδου Ἀρχελάῳ* (fr. 253 N.²).

Ἁπλοῦς ὁ μῦθος, μὴ λέγ' εὖ· τὸ γὰρ λέγειν
εὖ δεινόν ἐστιν, εἰ φέροι τινὰ βλάβην.

3 *Εὐριπίδου Αἰγέως* (fr. 5 N.²).

---

1 *τοῖς* (ut coniecit Wyttenbach) S: *τῶν* Tr., inde vulg. | *ὅ τι* Wyttenbach: *ὅτε* S | *εὐχερῶς* S: *δυσχερῶς* operarius ap. Gesn.³ p. 214, inde vulg. ‖ 3 ecl. sine lemm. hab. S (post ecl. 17 Mein.), addito lemm. M Tr. (post ecl. 15), sed M omissa ecl. 17 Mein.; *δημοσθένουσ* M, *δίωνος* Tr., unde vulg. lemma *δίωνος* male huc retractum ex prima ecloga capitis proximi, ubi *δι*^ο, i. e. *διονυσίου* S ‖ 4 *ω*^ΘΘ S *ὦ ἀθηναῖοι* Tr.: *ὦ θεοὶ* compendio male explicato M; malim *ὦ ἄνδρες Ἀθηναῖοι*, cf. p. 323, 16 adn.

Caput XXXIV est in S M, paucae eclogae in Br Mac. Chrys. titulum habent omnes sic ut Photius, numerum S M Mac., sed *κθ'* S. ab ecloga 14 rursus incipit A ‖ 8 ecl. cum lemm. hab. S M Mac., sine lemm. Br; *δι*^ο S *διονυσίου* M Mac.: *Εὐριπίδου* (ex prox. ecl.) Tr., inde vulg. quam male secutus est etiam Meineke. iteratur versus et lemma *Διονυσίου* corp. Par. 682 Elt. relatus est inter Men. mon. 208, inter paroemias Mac. cent. IV 44, Greg. Cypr. Mosq. cent. III 61, prov. app. cent. III 7 ‖ 9 *κρεῖττον* S M Br corp. Par. et reliqui testes. quod in Stobaeo ferendum ‖ 10 ecl. cum lemm. hab. S M. iterat eclogam et lemma *Εὐριπίδ⟨ου⟩* corp. Par. 683 Elt. sine lemmate supra leguntur versus III 13, 9 ‖ 11 *μὴ λέγ' εὖ* quod coniectura reppererat Valckenaer diatr. p. 256 flor. 13 ut videtur: *μὴ λέγε* S M corp. Par. ‖ 12 *φέροι* S M corp. Par.: *φέρει* flor. 13 ut coniecit Cobet coll. crit. p. 203 ‖ 13 ecl. cum lemm. hab. S M; *ĩ αυ*^τ pro *Εὐρ.* S

Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά.

4 *Ἀντιφάνους* (fab. inc. fr. 46 com. III p. 149).

Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε
ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα.

5 *Αἰσχύλου* (fr. 397 N.[2]).

Πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα.

6 *Ἐκ τοῦ Ἰσοκράτους πρὸς Δημόνικον* (§ 41 p. 11 b).

Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.

7 *Πυθαγόρου.*

Ἔλεγεν ὁ Πυθαγόρας ʽχρὴ σιγᾶν ἢ κρείσσονα σιγῆς λέγειν̓.

8 *Τοῦ αὐτοῦ.*

Ἢ σιγὴν καίριον ἢ λόγον ὠφέλιμον ἔχε.

9 *Σόλωνος.*

---

1 *καθέξεις* Porson adv. p. 274: *καθέξης* S M | *ἔσται* tacite ed. Wechel. p. 389: *ἔστι* S M ‖ 2 ecl. cum lemm. hab. S M; *ἀντιφ*$^{\alpha}$ perspicue S *ἀντιφάνουσ* M: *Ἀντιλόχου* Tr. ‖ 3. 4 *ὅτε ὁ* S *ὅτ᾽ ὁ* (sic) ex *ὅτε* ut videtur corr. M[2] ‖ 4 *ὑποτάττει* S: *ὑποτάττοι* M; *ὅταν Ὁ λ. ὑποτάττῃ* malit Meineke | *τοὺς λόγους τοῖς πράγμασιν* ci. Kock com. II p. 123. intellego *ὑποτάττει τοῖς λ. τὰ πράγματα* tamquam *κρηπῖδα* ‖ 5 ecl. cum lemm. hab. S M ‖ 7 ecl. hab. S M (post ecl. 34, 5) Br Mac. Chrys. (post ecl. 34, 1): *ἐκ τοῦ ἰσοκράτουσ πρὸς* ξ̄ *δημόνι* M: *ἰσοκράτους* nec plura S Br Mac. iterat eclogam et lemma *Ἰσοκράτους* corp. Par. 684 Elt., eclogam Georgid. p. 25 (post Isocr.) ‖ 8 *ποιοῦ καιροὺς* S M Br Mac. corp. Par. Is. Georg.: *καιροὺς ποιοῦ* Tr., inde vulg. | *σαφῶς* om. Georgid. ‖ 10 *σιγῆς* S M Br Mac. corp. Par. Is. Georg.: *σιωπῆς* Tr., inde vulg. ‖ 12 ecl. cum lemm. hab. S, om. M. iterat eclogam et lemma corp. Par. 685 Elt. cf. mantiss. proverb. cent. III 46 (paroemiogr. gr. II p. 779); gnomol. Vatic. 459 ‖ 15 ecl. hab. S M; *τ̆ αυ*^{τ} (quod praetervidit Gaisford) S *πυθαγόρου* M. cf. floril. Schenkelii (*Wien. stud.* XI p. 20) 59: *Ἢ σιγὴν καίριον ἔχειν δεῖ ἢ λόγον ὠφέλιμον* ‖ 17 ecl. cum lemm. hab. S M. iteratur ecloga et lemma corp. Par. 687 Elt. eadem supra legitur III 1, 172 p. 114, 8, cf. Laert.

Σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.

10 *Αἰσχίνου* (C. Fr. Hermann. disput. de Aesch. Socrat. rel. p. 11).

Αἰσχίνης ὁ Σωκρατικὸς ἐπιπληχθείς, ὅτι Σωκράτει ἐσχολακὼς σιωπᾷ, ‘οὐ γὰρ μόνον’ εἶπε ‘λέγειν ἔμαθον παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾶν’.

11 *Πυθαγόρου.*

Αἱρετώτερόν σοι ἔστω λίθον εἰκῇ βάλλειν, ἢ λόγον ἀργόν.

12 *Εὐριπίδου ἐν Ἀνδρομέδᾳ* (fr. 126 N².).

Σιγᾷς· σιωπὴ δ’ ἄπορος ἑρμηνεὺς λόγων.

13 *Θεόγνιδος* (625—626).

Ἀργαλέον φρονέοντα παρ’ ἄφροσι πόλλ’ ἀγορεύειν,
καὶ σιγᾶν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

14 *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 33).

Τάξον τινὰ ἤδη σεαυτῷ χαρακτῆρα καὶ τύπον, ὃν

I 58 *ἔφασκέ τε σφραγίζεσθαι τὸν μὲν λόγον σιγῇ, τὴν δὲ σιγὴν καιρῷ.* ceterum vide Brunco act. sem. philol. Erlang. III p. 339

1 *σραγίζον* M ‖ **2** ecl. hab. S M (post ecl. 34, 9) Mac. Chrys. (post ecl. 34, 6); lemma om. S Mac. cf. gnomol. Vat. 207 ‖ **7** ecl. cum lemm. hab. S M Mac. iteratur ecloga lemmate non denuo signato (post ecl. 34, 7) corp. Par. 686 Elt. cf. Sext. 152 Clit. 28 Elt.; Pyth. Vind. 7 (Syr. 7) Porphyr. ad Marc. 14; cod. Vind. 199 f. 188ʳ; gnomol. Byz. 141 p. 189 Wachsm. (Pal. 109 Bar. 176 Mon. 66 Leid. 65); flor. Laur. p. 241, 11 Mein., Nili sent. 2 p. 320 Or. et quae adnotarunt Elter Schenkl Wachsmuth ‖ **8** *βαλεῖν* (*βάλεῖν* Mac.) Mac. corp. Par. ‖ **10** ecl. hab. SM; *εὐρι*^{πδ} *ἐν ἀνδρομε*^{δ} S *εὐρ. ἐν ἀνδρομέδα* M quod recepi; *Εὐρ. Ἀνδρομέδας* temere Gaisford. fabularum series *Ἀρχελάῳ* (2) *Αἰγέως* (3) *ἐν Ἀνδρομέδᾳ* (12) indicium est alphabetici gnomologii manifestum ‖ **11** *λόγον* M ‖ **12** ecl. cum lemm. hab. S M. prior versus legitur poetae n. non addito Diogenian. cent. II 90, Gregor. Cypr. cent. I 86, Apostol. cent. IV 6; Suid. v. *ἀργαλέον* (vide Bergk ad Theogn. 625) ‖ **14** *αἰεὶ* Tr. et Theogn.: *ἀεὶ* S M ‖ **15** ecl. hab. S M A; *Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου* M: *Ἐκ τῶν Ἐπικτήτου* S, inde vulg., lemma cum eclogae verbis *Τάξον τινα* — 685, 5 *περὶ ἵππων* om. A ‖ **16** *σεαυτῷ* (-*τον* M) *χαρακτῆρα* S M: *χαρακτῆρα σαυτῷ* Arr.

φυλάξεις ἐπί τε σαυτοῦ ὢν καὶ ἀνθρώποις ἐντυγχάνων. σιωπὴ τὰ πολλὰ ἔστω ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι᾽ ὀλίγων. σπανίως δέ ποτε καιροῦ καλοῦντος ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν εἰκαίων, μὴ περὶ ἀθλητῶν ἢ μονομάχων ἢ περὶ ἵππων ἢ βρωμάτων ἢ πομάτων τῶν ἑκασταχοῦ, μὴ περὶ ἀνθρώπων ψέγοντα ἢ ἐπαινοῦντα ἢ συγκρίνοντα. λοιπὸν ἐκείνου ἔχου τοῦ μὴ καθιέναι εἰς ὁμιλίας ἰδιωτικάς, ἀλλὰ ἂν οἷός τε ᾖς, μέταγε τοὺς λόγους ἐπὶ τὸ προσῆκον· εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν.

15 *Σόλωνος.*

Σόλων ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ

1 *φυλάξεις* SM Arr.: *φυλάξειε* operarius Gesn.[2] p. 215, inde vulg. | *σαυτοῦ* SM *σεαυτοῦ* Arr. Gesn.[2], vulg. | *ἀνθρώποις ἐντυγχάνων* M Arr.: *ἑτέροισιν ἐντυγχάνων* S unde *ἑτέροις συντυγχάνων* non recte coniecit Meineke, nam *ἑτέροισιν* scriptum est dittographia quadam ante *ἐντ.*, per *ἑτέροις* autem variari videtur *ἀνοις* quod *ἄλλοις* male interpretatus est librarius pro *ἀνθρώποις*, nisi ipsi *ἀνθρώποις* fortasse adscriptum erat *ἑτέροις* ‖ 2 *καὶ σιωπὴ* Arriani plerique | *τὰ πολλὰ* S M: *τὸ πολὺ* Arr. ‖ 3 *καλοῦντος* SM: *παρακαλοῦντος* vel *παρακολουθοῦντος* libri Arr. | *τὸ* S Arr.: *τῶ* M ‖ 4 *τι* libri aliquot Arr., alii omittunt: *τί* aut *τέ* ex corr. S[1] *τί* M *τὲ* Tr. | *ἥξομεν* SM Arriani aliquot: *λέξον μὲν* Arriani alii Simpl. quod recte recepit Schweighaeuser ed. mai. | *μηδενὸς* Arr. non nulli | *εἰκαίων* SM: *τυχόντων* Arr. | *μὴ περὶ ἀθλητῶν* — 5 *ἢ πομάτων* SM, ab *ἢ βρωμάτων* etiam A: *μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων* Arr.; cf. Arr. Epict. diss. III 16, 4 ‖ 5 *πωμάτων* tacite Meineke, sed vide p. 507, 10 ‖ 6 *μὴ* SMA: *μάλιστα δὲ μὴ* Arr. | *ἀνθρώπων* Arr.: *ἄνθρωπων* (sic) M[1] *ανον* S *ἄνθρωπον* M[2] A | *ψέγοντα ἢ ἐπαινοῦντα ἢ συγκρίνοντα* SMA Arr. Simpl., *ψέγων ἢ ἐπαινῶν ἢ συγκρίνων* Arriani alii ‖ 7 *λοιπὸν* — 8 *ἀλλὰ* om. libri Arriani, cf. Arr. Epict. diss. III 16, 3 ‖ 8 post *ἂν* add. *μὲν οὖν* libri Arr. | *μετάγαγε* libri non nulli Arr. ‖ 9 *τοὺς λόγους ἐπὶ τὸ προσῆκον* SMA et sic enchiridii paraphr. (ubi *τὸν λόγον*): *τοῖς σοῖς λόγοις* (vel *τοὺς σοὺς λόγους καὶ*) *τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον* libri Arr. | *εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν* SMA non recte: *εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς* (vel *ἀπολειφθεὶς*) *τύχοις, σιώπα* libri Arr.; 'Stobaeus fortasse *εἰ δὲ* [*μὴ*] *ἀπολείπῃ, σιώπα*' Buecheler ‖ 11 ecl. cum lemm. hab. SMA. simile dictum Bianti tribuit Plut. de garrul. p. 503 F, Demarato Ps.-Plut. apophth. Lacon. p. 220 A

σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων σπάνιν ἢ διὰ μωρίαν σιωπᾷ, 'ἀλλ' οὐδεὶς ἄν' εἶπε 'μωρὸς σιωπᾶν ἐν συμποσίῳ δύναιτο'.

16 *Ἐκ τῶν Δίωνος Χρειῶν.*

Τῶν συνόντων τις μειρακίων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ ἐσιώπα· ὁ δὲ ἔφη 'οὐκ οἴει τοῦ αὐτοῦ εἶναι εἰδέναι τε ἃ λεκτέον καὶ πότε, καὶ τίνα σιωπητέον, καὶ πρὸς τίνα;

17 *Κλεοστράτου.*

Κλεόστρατος πρὸς τὸν εἰπόντα 'οὐκ αἰσχύνῃ μεθύων;' 'σὺ δὲ οὐκ αἰσχύνῃ' ἔφη 'μεθύοντα νουθετῶν;'

18 *Σωκράτους.*

Τῷ γελοίῳ καθάπερ ἁλὶ πεφεισμένως δεῖ χρῆσθαι.

19 *Ἀναξάρχου.*

Πολυμαθίη κάρτα μὲν ὠφελέει, κάρτα δὲ βλάπτει τὸν ἔχοντα. ὠφελέει μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν

---

2 *σιωπᾶν ἐν συμποσίῳ* S M: *ἐν συμποσίῳ σιωπᾶν* A. praetulerunt hoc Gaisford et Meineke, vix recte, sed cf. Plut. l. c.: *καὶ τίς ἄν, ἔφη, δύναιτο μωρὸς ὢν ἐν οἴνῳ σιωπᾶν;* ‖ 4 ecl. cum lemm. hab. S M A. inter Dionis Chrysostomi fragmenta recepit L. Dindorf v. II p. 312; *Διογένους* pro *Δίωνος* scribi vult Rose Ar. ps. p. 612 ‖ 5 *μειρακίσκων* mavult Meineke | *διογένει* SA: *διογένη* M ‖ 6 *δὲ* M | *οἴει* SM, ex *οἴῃ* corr. A m. inc., fort. A[1] ‖ 9 ecl. cum lemm. hab. S M A (post ecl. 34, 16), sine lemm. Br (post ecl. 34, 6) Mac. Chrys. (post ecl. 34, 11). nomen *Κλεόστρατος* hoc ipso loco testatur Photii pinacographus. iteratur ecloga et lemma corp. Par. 532 Elt. cf. gnomol. Vatic. 371 ‖ 10 *αὐτῷ* post *εἰπόντα* add. corp. Par. ‖ 12 ecl. cum lemm. hab. S M A. recurrit locus Demophil. simil. 19 ‖ 13 *πεφεισμένως*] super *ε* syllabae secundae aliquid eras. M ‖ 14 ecl. cum lemm. hab. S M A. exscripsit locum Clemens Alex. strom. I 6 extr. eodem non exemplari quidem sed tamen fonte usus ac Stobaeus: *Εὖ γοῦν καὶ Ἀνάξαρχος ὁ εὐδαιμονικὸς ἐν τῷ περὶ βασιλείας γράφει: 'πολυμαθίη — ἔχουσι μωρίης'*; prior eclogae pars usque ad *ὅρος οὗτος* (p. 687, 2) recurrit Crameri anecd. Ox. III p. 215 (*τὸ Ἀναξάρχειον*). verba *Ἀνάξαρχος δὲ πολυμάθειαν κάρτα μὲν ὠφελεῖν, κάρτα δὲ βλάπτειν* habet Serenus Stobaei II 31, 116 p. 229 Wachsm. cf. gnomol. Vatic. 469 ‖ 15 *πολυμαθίη* S M A: *πολυμαθείη* cod. Clementis, Cram. anecd. | *τὸν ἔχοντα* S M A, Clem.: om. Cram. anecd., de Sereno non liquet; circumscripsit Bergk opusc. II p. 294 ‖ 16 *τὸν δεξιὸν ἄνδρα* S

ῥηιδίως φωνεῦντα πᾶν ἔπος καὶ ἐν παντὶ δήμῳ. χρὴ δὲ καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ οὗτος ὅρος. οἳ δὲ ἔξω καιροῦ ῥῆσιν μουσικὴν ⟨ἀείδουσιν, κἢν⟩ πεπνυμένως ἀείσωσιν, οὐ παραδέκονται ἐναργίῃ γνώμην, αἰτίην δ' ἔχουσι μωρίης.

CAPVT XXXV.

ΠΕΡΙ ΒΡΑΧΥΛΟΓΙΑΣ.

1 *Ἡσιόδου Ἔργων* (719—720).

Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισι μέγιστος

MA: *τόνδε ἄξιον ὄντα* cod. Clem., *τὸν ἄξιον ἐόντα* Cram. anecd.; vide Bernays *ges. abh.* I p. 126

1 *φωνεῦντα* SM: *φωνοῦντα* A; *φωνέοντα* Clem., Cram. anecd. | *χρὴ — ὅρος*] Athenaeus mechanicus apud Wescher *poliorcétique des Grecs* p. 4: *καὶ ταῦτα τῶν ἀρχαίων φιλοσόφων καλῶς εἰρηκότων τα τοῦ καιροῦ μέτρα δεῖν εἰδέναι ὡς ὑπάρχοντος ὅρον τῆς σοφίας,* vide Bernays *ges. abh.* I p. 129 ‖ **2** *οὗτος ὅρος* (*ὄρος* M) SMA, Clem.: *ὅρος οὗτος* Cram. anecd.; *οὗτος οὖρος* Anaxarcho dedit Bergk, recepit Meineke. cautius iudicat Gomperz *die apol. der heilk.* p. 125, cf. supra p. 18, 7 | *οἳ* (*οἱ* M) *δὲ* SM: *εἰ δὲ οἱ* A; *ὅσοι δὲ* quod verum videtur Clem. | *ἔξω καιροῦ ῥῆσιν μουσικην πεπνυμένως ἀείσωσιν* (*ἀάσουσιν* M *ἀείσουσιν* A) SMA, *καὶ θεοῦ ῥῆσιν ἀείδουσιν, ἤην πη πεπνευμένην ἀείδωσιν* cod. Clem.; *καὶ θύρησιν ἀείδουσιν, ἤνπερ πεπνυμένα ἀείδωσιν* Bernays l. c., *ἔξω καιροῦ θύρησιν ἀείδουσι, κἢν πεπνυμένα ἀείσωσιν* Bergk idque recepi, nisi quod praetuli *κἢν πεπνυμένως* et retinui *ἔξω καιροῦ ῥῆσιν μουσικὴν* ‖ **4** *οὐ παραδέχονται ἐν ἀργίῃ γνώμην* (sic A Tr. *γνώμη* SM) *αἰτίην* (*αἰτεῖν* S) *δ' ἔχουσι* (*δ' ἔχωσι* M) *μωρίας* SMA quae fere retinui sed ut *ἐναργίῃ* scriberem suadente Buechelero; *οὐ τιθέμενοι ἐν σοφίῃ, γνώμην δ' ἔχουσι* (*δ'* secludi vult vel *δέκονται* scribi pro *δ' ἔχουσι* Bernays) *μωρίης* Clem. Bergkio apud Clementem videtur scribendum *οὐ τιθέμενοι ἐν σιωπῇ γνώμην,* apud Stobaeum *οὐ παρέχοντες* (vel *παρεχόμενοι*) *ἐν ἀεργίῃ γνώμην* particula *δ'* deleta, cum ipsum Anaxarchum suspicetur dedisse: *οὐ τιθέμενοι ἐν ἀεργίῃ γνώμην αἰτίην ἔχουσι μωρίης*

Caput XXXV servarunt SMA, paucas eclogas Br Mac. Chrys. titulum offerunt omnes sic ut Photius, nisi quod *περὶ ἀργολογίας* A[1] mutavit in *ἀδολεσχίας* A[2] corr. A[3], numerum adiciunt SMA Mac., sed *λ'* S ‖ 8 ecl. cum lemm. hab. SMA Br Mac. Chrys., *ἔργων* om. SBr. adfert versus addito poetae n. Gellius noct. Att. I 15, 14 Tzetzes apud Cramerum anecd.

φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.

2 *Εὔπολις ἐν Δήμοις* (fr. 18 com. II 1 p. 467).

Καὶ τοῦ μὲν ⟨ἐν⟩ κύκλῳ γε παύσομαι λόγου,
φράσω δέ σοι τὸ πρᾶγμα διὰ τῶν χωρίων.

3 *Εὐριπίδου Αἰόλῳ* (fr. 28 N.[2]).

Παῖδες, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ
πολλοὺς λόγους οἷός τε συντέμνειν καλῶς.

4 *Σοφοκλέους Ἀλήτῃ* (fr. 98 N.[2]).

Βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά.

5 *Μενάνδρου Ἐπαγγελλομένῳ* (fr. 3 com. IV p. 115).

Τοῖς ἀναιδέσιν βοηθεῖ γὰρ λόγοις τοὖθ᾽ ἓν μόνον,
ἂν βραχεῖς αὐτοὺς ποῇ τις τόν τε καιρὸν εὖ λάβῃ.

6 *Φιλωνίδου* (com. II 1 p. 425).

Ἅπαντ᾽ ἐρίζεις καὶ συνίῃς οὐδὲ ἕν.

6[a]

Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν.

Ox. IV p. 122. cf. etiam *Γνῶμαι διάφ.* Boissonadii anecd. I p. 115 ‖ 9 *τοι* om. Mac. | *ἐν ἀνθρώποισι μέγιστος* S M A Br Mac. Tzetz.: *ἐν ἀνθρώποισιν ἄριστος* (*-τον* Boiss.) Tr. p. 177 Hes. Gell. Boiss.

2 ecl. cum lemm. hab. S M A ‖ 3 *ἐν* addidit Grotius dict. poet. p. 141 | *γε παύσομαι* S M A: *πεπαύσομαι* Pierson ad Moer. p. 293 ‖ 4 *χωρίων* S M A 'perpetua apud mathematicos *τῶν χωρίων* contra *τὸν κύκλον* eiusve propria oppositio. *βραχυλογίας* autem est non per gyrum vagata sed locis definita oratio: ita quidem visum est excerptori' Buecheler ‖ 5 ecl. cum lemm. hab. S M A. Euripides Aristophanis Thesm. 177: *Ἀγάθων, σοφοῦ πρὸς ἀνδρὸς ὅστις ἐν βραχεῖ Πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους* ‖ 8 ecl. cum lemm. hab. S M A (post ecl. 35, 3) Br (post ecl. 35, 1); *Σοφοκλέους ἀλείτῃ* M A, fab. n. om. S Br ‖ 9 *δὲ* S M Br: *καὶ* A ‖ 10 ecl. cum lemm. hab. S M A; *ἐπαγγελοβ* S ‖ 11 *ἀναιδέσιν* Grotius dict. poet. p. 141: *ἀναιδέσι* S M A; *ἀναιδέεσι* operarius Gesn.[2] p. 216, inde vulg. | *τοὖθ᾽* A ut videtur: *τοῦτ᾽* S M ‖ 12 *ποῇ* S: *ποιῇ* M A | *εὖ λάβῃ* S: *εὐλαβῇ* M *εὖ λαβῇ* A[1] ‖ 13 ecl. cum lemm. hab. S M A ‖ 14 *ἅπαντε ἐρίζεις* M[1], corr. M rubr. | *συνίῃς* Meineke com. V 1 p. 33 et sic voluit A[2]: *συνιεὶς* S M[d] *συνίεὶς* (η superscr.) A, corr. A[2]; *συνιεῖς* Meineke in Stob. | *οὐδὲ ἓν* ex *οὐδὲν* corr. S[1] ‖ 15 versum quem coniungunt cum priore S M A, separavit Meineke. error inde natus videtur, quod lemma *Φιλωνίδου* etiam ad hunc versum pertinebat in archetypo, videatur ad ecl. prox. recurrit versus inter Men. monost. 96, cf. ibid. 403 et 557

7 *Φιλωνίδου* (com. IV p. 690).

Οὐκ ἄν τις εἴπῃ πολλά, θαυμασθήσεται,
ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα.

8 *Πυθαγόρου.*

Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ' ἐν ὀλίγοις πολλά.

9 *Λυκούργου.*

Λυκοῦργος πρὸς τὸν εἰπόντα 'διὰ τί Λακεδαιμόνιοι τὴν βραχυλογίαν ἀσκοῦσιν;' εἶπεν 'ὅτι ἐγγύς ἐστι τοῦ σιγᾶν'.

10 (Epict. fr. 77 Schweigh.)

Μηδενὸς οὕτως ἐν παντὶ προνόει ὡς τοῦ ἀσφαλοῦς· ἀσφαλέστερον γὰρ τοῦ λέγειν τὸ σιγᾶν. ἔα δὲ τὸ λέγειν ὅσα δίχα ἔσται νοῦ καὶ ψόγου ....

10ª *Ἐκ τοῦ Ἐπικτήτου Ἐγχειριδίου* (c. 33).

Ἀπέστω δὲ τὸ πολὺ καὶ αὑτοῦ τινων ἔργων μεμνῆ-

---

1 ecl. hab. lemmate non iterato S, sine lemmate vel distinctione cum praegressa coniunctam M (de A nihil enotatum) Tr. p. 178, addito lemm. *φιλωνίδου* (prioribus omissis) Br ‖ **3** *χρήσιμα* M^d Br: *χρήσιμον* S ‖ **4** ecl. cum lemm. hab. S M A. cf. Sext. Syr. 430 p. 73 Gildem. floril. Schenkelii (*Wien. stud.* XI p. 26) 85 ‖ **6** ecl. sine lemm. hab. S, addito lemm. M A. recurrit ecloga corp. Par. 533 Elt. (*Λυκούργου*). cf. gnomol. Vat. 395 (*Λάκων ἀνὴρ πρὸς τὸν κτέ.*) ‖ **7** *αὐτὸν* (voluit opinor *αὐτῷ* ut gnom. Vat.) post *εἰπόντα* addit corp. Par. cf. supra flor. 34, 17. *ἐρωτῶντα* pro *εἰπόντα* exspectat Meineke v. IV p. LXIV, sed vide p. 641, 1 sq. ‖ **8** *βραδολογίαν* corp. Par. ‖ **9** ecl. cum enchiridii ecloga (10ª) cohaerentem habet S M A, lemmate *Ἐκ τοῦ Ἐπικτήτου ἐγχειριδίου* praemisso: separandam esse vidit Schweighaeuser. lemma transposui. firmat Br ubi sola legitur 10ª (*ἐπικτήτου*) omissis verbis prioribus ‖ **10** *προνόει* (sic) S M: *προνοοῦ* A receperunt Gaisford et Meineke, sed confer Arr. Epict. diss. I 12, 1 II 14, 11 ‖ **11** *τοῦ λέγειν τὸ σιγᾶν*, sed *λέγειν τὸ* sup. lin. S¹ | *ἐὰν* (sic, non *ἐᾶν*) in rasura qua v. *τὸ λέγειν* deleta esse videntur S *ἐὰν* M A; *ἐᾶν* tacite scr. Gesn.¹ p. 216, vulg. non satis integra videtur oratio Schweighaeusero. sufficit fortasse *ἔα δὲ τὸ λ.*, cui non praestat *ἐᾶν δὲ ⟨δεῖ⟩ τὸ λ.* | *τὸ* ante *λέγειν* om. M ‖ **12** *ψόγου* S M A: *λόγου* coniecit Gesn.¹ mrg. immo lacuna signanda erat. aberravit librarius ad *ἀπέστω*, transiluerit *πλέα* vel *μεστά*. erat cum conicerem *ὅσα δίχα ἔσται νοῦ καὶ ψόφος* (vel *ψόφοι* cf. Sexti sent. 154 Elt.), sed vituperationis nimiae vitandae admonitio apprime apta est aetati imperatoriae ‖ **13** ecl. hab. S M A Br, et Br post ecl. 35, 7, vide ad ecl. praecedentem ‖ **14** *ἀπέστω δὲ τὸ* (*τοῦ* M) *πολὺ καὶ αὑτοῦ* (*αὐτοῦ* M) *τινων* (*τίνων*, sed *ί* in lit. M) *ἔργων μεμνῆ-*

σθαι ἢ κινδύνων. οὐ γὰρ ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοὶ συμβαινόντων ἀκούειν.

11 *Πλάτωνος Νόμων α´* (I p. 641 E).

Τὴν πόλιν ἅπαντες ἡμῶν Ἕλληνες ὑπολαμβάνουσιν, ὡς φιλόλογός τέ ἐστι καὶ πολύλογος, Λακεδαίμονα δὲ καὶ Κρήτην, τὴν μὲν βραχύλογον, τὴν δὲ πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦσαν.

CAPVT XXXVI.

ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ.

1 *Θεόγνιδος* (421—424).

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύρα οὐκ ἐπίκειται
ἁρμοδίη, καί σφιν πόλλ᾽ ἀλάλητα μέλει.

σθαι ἢ κινδύνων S M A: *ἐν ταῖς ὁμιλίαις ἀπέστω τὸ ἑαυτοῦ τινων ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι* Arr.; in Stob. *καὶ* ante *αὐτοῦ* fortasse delendum esse censet Schweighaeuser ed. mai. p. 178, puto praestare *τὸ πολὺ καὶ* ⟨*ἀμέτρως*⟩ *αὐτοῦ κτέ.*, ne quid ambiguitatis haereat verbis *τὸ πολὺ*

1 *ὡς σὺ ἡδύ* (*ἡδύ* om. Tr.) S Tr. | *τὸ* sup. lin. add. A² ‖ 2 *τὸ* sup. lin. add. A² ‖ 3 *τῶν σοὶ συμβαινόντων* scripsi: *τῶν συμβαινόντων* S M A, sed *σοὶ* in marg. dextro add. M¹, *τῶν συμβαινόντων σοι* Br; *τῶν σοὶ συμβεβηκότων* Arr. | *πυκνῶς* ante *ἀκούειν* add. libri Arr. haud pauci ‖ 4 ecl. cum lemm. hab. S M A ‖ 5 *ἄπανΤ᾽*, voluit opinor *ἄπαντ̃* i. e. *ἅπαντες* M ‖ 6 *φιλόλογος* — 7 *βραχύλογον*] paroxytona fecit (ut sunt in S) A² | *πολύλογος* S (sine acc. S) M Plat.: *πολύλαλος* A, *γρ. πολυλόγος* A² mrg ‖ 8 *πολυλογίαν* S M Plat.: *βραχυλογίαν* A¹

Caput XXXVI est in S M A, haud ita paucae eclogae in Br, quinque in roseto Mac. Chrys. titulum servarunt omnes sic ut Photius, quamquam in S supplevit m. rec. numerum adiciunt S M A, sed *λβ´* S ‖ 11 ecl. cum lemm. hab. S M A ‖ 12 *γλώσσηι* radendo corr. ex *γλῶσσα* S | *θύραι οὐκ ἐπίκεινται ἁρμόδιαι* Theogn. ‖ 13 *ἀλάλητα μέλει* ci. Geel: *ἀλάλητα πέλει* libri *ἀμέλητα μέλει* Theogn.; mutavit gnomologus *περὶ αδολεσχίας*, sed fortasse *πολλὰ λαλητὰ πέλει* sicut statuit Buecheler

πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἦλθεν·
ἐσθλὸν δ' ἐξελθεῖν λώιον ἢ τὸ κακόν.

2 *Εὐριπίδου Ἱππολύτῳ* (395—397).

Γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἣ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.

3 *Εὐριπίδου Μηδείας* (292—293).

Οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
ἔβλαψε γλῶσσα, μεγάλα τ' εἴργασται κακά.

4 *Ἀστυδάμαντος* (fr. 7 p. 780 N.²).

Γλώσσης περίπατός ἐστιν ἀδολεσχία.

5 (comici ignoti fr. 345 IV p. 690)

Ληρεῖς ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

6 *Ὁμήρου* (Od. XIV 466).

Καί τι ἔπος προέηκεν ὅ πέρ τ' ἄρρητον ἄμεινον.

7 *Τοῦ αὐτοῦ* (Il. XXIII 478—479).

Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι. οὐδέ τι σε χρὴ
λαβραγόρην [τ'] ἔμεναι.

---

1 *πολλάκισ* M | *ἔνδοθε ἦλθεν*] *ἔνδον ἄμεινον* Theogn. ‖ **2** *ἐξελθεῖν*] *ἐξελθὸν* (*ἐξελθὼν* A O c h) Theogn.; *ἐσθλὸν δ' ἔξελθον λῷον ἀπὸ στόματος*, ut *ἢ τὸ κακὸν* correctoris sit, ci. Bergk sibi ipse non satis faciens, *ἔσθ' ὅτε δ' ἐξελθὸν λώϊον ἦν τὸ καλὸν* vel *ἔσθ' ὅτε μὴ 'ξελθὸν λ. ἦν τὸ καλόν* Hartel, alii alia ‖ **3** ecl. cum lemm. hab. SMA ‖ **4** *ἢ θύραια* M ‖ **7** ecl. cum lemm. hab. SMA; *μη* (δ supra) nec plura S *εὑριππ* (δ' supra) addit M *τοῦ αὐτοῦ* A ‖ **8** *με* S M Eur.: *μὲν* A¹ | *κρέον* S Eur.: *κρεῶν* M *κρέων* A ‖ **9** *γλῶσσα* SMA invexit gnomologus: *δόξα* Eur. ‖ **10** ecl. cum lemm. hab. SMA ‖ **11** comico poetae versiculum convenire, non tragico monet Nauck. vide igitur ne Astydamantis locus interciderit una cum nomine comici, cuius fortasse erat etiam proximus versus ‖ **12** ecl. sine lemm. hab. SMA Br; coniungunt cum ecl. 36, 4 SM, nescio an etiam A, separavit Gesn.¹ p. 218, vulg. Gesneri iudicium firmat Br, ubi sine ecl. 36, 4 legitur versus post ecl. 36, 14 ante 36, 8 ‖ **13** *ληροῖς* Br ‖ **14** ecl. cum lemm. hab. SMA. legitur supra versus in maiore excerpto III 18, 17 (*Ὁμήρου*) ‖ **15** *ὅπερ* (*ὅ πέρ* Hom.) *τ' ἄρρητον* MA, flor. 18, Hom.: *ὅπερ ἄρρητον τ'* S ‖ **16** ecl. sine lemm. hab. S, addito lemm. MA ‖ **17** *μύθοις* SMA Hom.: *μύθους* Tr., inde vulg. | *λαβραύεαι* A¹ ‖ **18** fuisse qui suspectarent ver-

8 *Νικοστράτου* (inc. fab. fr. 1 com. III p. 288).

Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν
ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
ἐλέγοντ᾽ ἂν ἡμῶν σωφρονέστεραι πολύ.

9 *Εὐριπίδου Πενθεῖ* (Bacch. 268—269).

Σὺ δ᾽ εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ᾽ οὐκ ἔνεισί σοι φρένες.

10 *Εὐριπίδου Ἀντιόπῃ* (fr. 219 N.[2]).

Κόσμος δὲ σιγὴ στεγανὸς ἀνδρὸς οὐ κακοῦ.
τὸ δ᾽ ἐκλαλοῦν τοῦθ᾽ ἡδονῆς μὲν ἅπτεται,
κακὸν δ᾽ ὁμίλημ᾽, ἀσθενὲς δὲ καὶ πόλει.

11 *Σοφοκλέους Ἀλεάδαις* (fr. 79 N.[2]).

Τί ταῦτα πολλῶν ῥημάτων ἔτ᾽ ἔστι σοι;
τὰ γὰρ περισσὰ πανταχοῦ λυπήρ᾽ ἔπη.

---

sum testantur schol. Hom. | *λαβρογόρην* S M A Hom. *-γόραν* Tr., vulg. | *τ᾽* seclusi | *ἔμεναι* tacite ex Hom. Gesn.[1] p. 218, inde vulg.: *ἔμμεναι* S M A

1 ecl. cum lemm. hab. S M A (post ecl. 36, 7) Br (post ecl. 36, 5). iterat eclogam et lemma corp. Par. 688 Elt. ceterum Boiss. an. gr. I p. 114 (*Νικοστράτου*) non discrepat cum Maximo c. 47 p. 647 Combef. || 2 *εἰ ἐπὶ τὸ* corp. Par. || 3 *παράσημον*] nullam esse discrepantiam in A proditur accentu; moneo propter Gaisfordum || 4 *ἐγένοντ᾽ ἂν* pro *ἐλέγοντ᾽ ἂν* coniecit Meineke in bucolicis p. 440 adn. | *σωφρονέστεραι* S M A Br corp. Par.: *ἐμφρονέστεραι* scr. Meineke || 5 ecl. cum lemm. hab. S M A. *Πενθεύς* inscribitur etiam in Euripidis cod. Florentino XXXII 2 eiusque apogr., vide Kirchhoff ed. mai. II p. 468 || 7 *τοῖσι* operarius Gesn.[2] p. 217, inde vulg. | *λόγοισι* S A: *λόγοις* M | *ἐν εἶσι* M || 8 ecl. hab. S M A; lemma ex M A (*ἀντιόπης* A), *τ̆ αυτ* nec plura S || 9 *σιγὴ στεγανος* Herwerden exerc. cr. p. 35: *σιγῆς στέφανος* S M A | *στέφανος* supra lin. S[1] || 10 *τοῦθ᾽* Porson adv. p. 323: *οὖθ᾽* S M A || 11 graviter corruptus visus est etiam Nauckio. sed quod probari possit nemodum repperit, cf. Herwerden mnemos.[2] XII p. 310 | *ὁμίλημα* M || 12 ecl. cum lemm. hab. S M A (post ecl. 36, 10) Mac. Chrys. (tamquam capitis primam); *ἀλεάδαις* [ευ] A[2] fab. nom. om. Mac. | 13 om. Mac. | *ἔτι* M | *ἐπαξιοῖς* pro *ἔτ᾽ ἔστι σοι* dubitanter Herwerden mnemos.[2] VI p. 280, paulo poterat melius *ἔτ᾽ ἀξιοῖς*, certe *ἔτι* nemo lubens abiciet || 14 *λυπηρα* S M Mac.

12 *Μενάνδρου.*

* * *

12ᵃ (trag. adesp. 529 N.[2]).

Αἰσχρόν γ' ὅταν τις † ἐπὶ γλώσσῃ φυεὶς
γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

13 *Εὐριπίδου Βάκχαις* (386—388).

Ἀχαλίνων στομάτων
ἀνόμου τ' ἀφροσύνας
τὸ τέλος δυστυχία.

14 *Μενάνδρου.*

* * *

---

1 ecl. cum lemm. *μενάνδρου* hab. S M A. tragici poetae locum esse viderunt Valckenaer apud Gaisf. Dobree adv. II p. 281: signavi igitur lacunam; *μενάνδρου* lemma eicere maluit Meineke ‖ 4 *γ'* S *γε* M: om. A | *ἐπὶ γλώσσῃ φυεὶς* libri: *ἀξίωμ' ἔχων μέγα* confidentius Cobet n. l. p. 85, *νοῦν ἐπὶ γλώσσῃ φορῶν* dubitanter Nauck *mél. gr.-rom.* III p. 48, *εὐεπὴς γεγὼς φύσει* quod ipse quoque mihi adnotaveram Herwerden mnemos.[2] VI p. 79, sed vereor ne operam perdamus in emendando vel supplendo emblemate, quod prodi putaverim et *γλώσσῃ* male iterato et forma *φυείς*. Euripides vel quisquis fuit Euripidei coloris versuum auctor nescio an nil dederit nisi *αἰσχρόν γ' ὅταν τις ἐξακοντίσῃ λόγους Γλώσσῃ ματαίους*, ad *τις* autem definiendum sive distichi complendi gratia adscripserit Graeculus *ἐπὶ* (vel *εὖ γ' ἐπὶ*) *γλώσσῃ φυείς*. sic *ὅστις γὰρ ἐπὶ τῷ* (vel *τὸ*) *πλέον ἔχειν πέφυκ' ἀνὴρ* male gnomologus vel librarius III 10, 17 pro genuino *ὅστις γὰρ ἀστῶν πλέον κτἑ.* quod asservatum est III 22, 2 ‖ 6 ecl. cum lemm. hab. S M A. leguntur versus apud Didymum Stob. II p. 45, 20 W. (*παρ' Εὐρ.*). recurrit ecloga flor. Mon. 113. afferunt versus poetae nom. addito Lucianus pisc. 3, Gellius I 15; utuntur loco Plutarchus de garrul. p. 503 D, Lucianus pseudolog. 32. fortasse legebatur olim ap. Suid. v. *ἀργαλέον*. cf. Bekk. an. I p. 27 ‖ 7 *Ἀχαλήνων* M ‖ 8 *τ'* tacite ex Eur. Gesn.[1] p. 218, inde vulg., Stob. II, flor. Mon., Luc. pisc., Gell.: *δ'* S(?) M A ‖ 9 *τὸ* om. flor. Mon. ‖ 10 lemma $\overset{\varepsilon}{\mu}$ hab. S *μενάνδρου* M A (post ecl. 36, 13) subicientes eclogam *οὔτ' ἐκ χερὸς κτἑ.* quae sine lemmate legitur Br (post ecl. 36, 16). tragici potius poetae esse versus perspexit Meineke c. IV p. XIII sq. cuius suspicionem firmat lemma quod in S adscribitur eclogae 15. intercidisse Menandri locum vidit Nauck tr. gr. fr.[1] p. 537. respicit Plut. de garrul. p. 507 A *οὔτε γαρ πτηνὸν ἐκ τῶν χειρῶν ἀφέντα ῥᾴδιόν ἐστιν αὖθις κατασχεῖν οὔτε λόγον ἐκ τοῦ στόματος κτἑ.*

14ª (Eur. fr. 1044 N.²)

Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον κατασχεῖν οὔτ' ἀπὸ γλώσσης λόγον.

15 *Τοῦ αὐτοῦ Δικτύος* (fr. 335 N.²).

Τυραννικόν τοι πόλλ' ἐπίστασθαι λέγειν.

16 *Σοφοκλῆς Ἀλήτῃ* (fr. 99 N.²).

Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγων ἀεί,
λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς.

17 *Αἰσχύλου* (Prom. 329).

Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται.

18 *Φιλήμονος* (fab. inc. fr. 11 com. IV p. 37).

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς·
τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρόν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον.
τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε·
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

19 *Ζήνωνος.*

---

2 *χειρὸς* Br | *χερῶν ἀφέντα* Plutarchum legisse suspicatur Nauck | *καρτερᾶς* male Cobet, cf. Meineke flor. IV p. LXIV ‖ 3 *ῥᾷον*] *ἐλαφρὸν* ci. Meineke non recte, immo duae inter se diversae locutiones misceri videntur *οὐ ῥᾷον ... ἢ* et *οὐ ῥᾴδιον οὔτε ... οὔτε*, dicendi audaciam evitavit Plutarchus vel auctor Plutarchi ‖ 4 ecl. cum lemm. hab. SMA; *τ̆ αυ^τ δίκτύος* (sic) S *εὐριπ.* pro *τοῦ αὐτοῦ* MA ‖ 5 *τοι* SM: *τε* A; *τι* Tr. p. 179, inde vulg. ‖ 6 ecl. cum lemm. hab. SMA (post ecl. 36, 15), sine lemm. Br (tamquam capitis primam), om. Tr.; *σοφο^ς αλει^τ* (sic) S *σοφοκλῆς ἀλείτῃ* MA ‖ 7 *δ'* pro *γὰρ* A | *λέγειν* S ‖ 8 *ἀυτὸν* M ‖ 9 ecl. cum lemm. hab. SMA (post ecl. 36, 16) Mac. Chrys. (post ecl. 36, 11). legitur versus inter Men. monost. 111 ‖ 10 *προσγίνεται* Mac. et v. l. in Men. mon. ‖ 11 ecl. cum lemm. hab. SMA ‖ 12 *μὲν* ex *μὴ* ut videtur radendo corr. M² ‖ 16 *τὸνδε* in *τοῦδε* corr. M¹, supra ε aliquid erasum est ‖ 18 *εἴρηκεν*] *ν* add. A² ‖ 19 ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemmate MA. post ecl. 36, 18 ponunt SMA, post ecl. 36, 8 Br, post ecl. 36, 17 Mac. eclogam et lemma iterat corp. Par. 689 Elt. cf. Zenonis apophth. ap. Diog. Laert. VII 23: *πρὸς τὸ φλυαροῦν μειράκιον 'διὰ τοῦτο' εἶπε 'δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα*

Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν ʽνεανίσκεʼ εἶπεν ʽἡ φύσις ἡμῖν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλασίονα ὧν λέγομεν ἀκούωμενʼ.

20 *Θεοκρίτου.*

Θεόκριτος Ἀναξιμένους λέγειν μέλλοντος ʽἄρχεταιʼ εἶπεν ʽλέξεων μὲν ποταμός, νοῦ δὲ σταλαγμόςʼ.

21 *Διογένους.*

Διογένης ᾔτησέν ποτε Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδων τρεῖς· ὡς δʼ ἐκεῖνος μέδιμνον ἀπέστειλεν, ʽοὕτωςʼ ἔφη ʽκαὶ ἀποκρίνῃ ⟨ἓν⟩ ἐρωτηθεὶς μυρίαʼ.

22 *Πλάτωνος.*

Πλάτων Ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μακρολογήσαντος ʽἀγνοεῖςʼ εἶπεν ʽὅτι τοῦ λόγου μέτρον ἐστὶν οὐχ ὁ λέγων, ἀλλʼ ὁ ἀκούωνʼ.

πλείονα μὲν ἀκούωμεν, ἥττονα δὲ λέγωμενʼ. Plut. rat. aud. p. 39 B de garrul. p. 502 B. recurrit sententia gnom. Byz. n. 140 p. 189 Wachsm. (Bar. 179 Par. 64): *Γλῶσσαν μίαν τοῖς ἀνθρώποις ἡ φύσις δέδωκε, δύο δὲ ὦτα, ἵνα διπλασίονα ὧν λέγομεν παρʼ ἑτέρων ἀκούωμεν*; Maxim. c. 47 p. 647 Combef. (*ἐκ τῶν Ἐπικτήτου καὶ Ἰσοκρατ.*), Mel. Aug. c. 23 n. 10; Georgid. p. 24; flor. Monac. 135. cf. etiam Maxim. c. 47 p. 647 Combef.: *Δημόνακτ. Τοῖς ὠσὶ πλέον ἢ τῇ γλώττῃ χρῶ*

1 *πλείω* libri nisi quod *πλείονα* M ‖ **3** *διπλάσιον* Tr., inde vulg. | *ἀκούομεν* Br ‖ **4** ecl. sine lemm. hab. S Br Mac. Chrys., addito lemmate MA. de Anaximene et Theocrito Chio cf. Hermippus Athenaei I p. 21 C et gnomol. Vat. 348. comparatur Clemens Alexandr. strom. I p. 328 P.: *ποταμὸς ἀτεχνῶς* (*ἀτέχνων* cod.: corr. Nauck) *ῥημάτων, νοῦ δὲ* (libri *οὐδὲ*: corr. Leopardus) *σταλαγμός*, ubi ⟨*νοῦ δὲ*⟩ *οὐδὲ* Nauck *mél. gr.-rom.* IV p. 724; Synesius de insomniis p. 158 A: *νοῦ μὲν αὐχμός, ἐπομβρία δὲ λέξεων* ‖ **5** *ἄρχεται* libri: *ἔρχεται* ci. Meineke v. IV p. LXIV, comprobat Nauck coll. Aristoph. ran. 1099 ‖ **6** *εἶπεν* SM | *νοῦ δὲ οὐδὲ* Nauck ‖ **7** ecl. sine lemm. hab. S, addito lemm. MA. cf. Diog. Laert. VI 26 ‖ **8** *Διογένης ᾔτησεν ποτὲ Πλάτωνα* S: *ᾔτησέν ποτε διογένης Πλάτωνα* M *ᾔτησε ποτε πλάτωνα διογένης* A ‖ **10** *ἀποκρίνου* A[1], corr. A[2] | *ἓν* ante *ἐρωτ.* addidit Iacobs lect. Stob. p. 72, acta egit Cobet mnemos. IX p. 120 ‖ **11** ecl. sine lemm. hab. S Br, addito lemm. MA. post ecl. 36, 21 ponunt SMA, post ecl. 36, 20 sed om. 21 Br. iteratur ecloga et lemma corp. Par. 680 Elt. paulo aliter concepta est gnomol. Vat. 437 ubi vide quae adnotavit Sternbach

23 *Ζήνωνος.*

Τῶν τις ἐν Ἀκαδημίᾳ νεανίσκων περὶ ἐπιτηδευμάτων διελέγετο ἀφρόνων· ὁ δὲ Ζήνων 'ἐὰν μὴ τὴν γλῶσσαν' ἔφη 'εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ πλείω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσεις'.

24 *Δημοκρίτου* (fr. mor. 144 Mullach.).

Πλεονεξίη τὸ πάντα λέγειν, μηδὲν δὲ ἐθέλειν ἀκούειν.

25 *Ἰσοκράτους.*

Ἰσοκράτης ὁ ῥήτωρ Καρίωνος ὄντος λάλου καὶ σχολάζειν αὐτῷ βουλομένου, διττοὺς ᾔτησε μισθούς. τοῦ δὲ τὴν αἰτίαν πυθομένου 'ἕνα μέν' ἔφη 'ἵνα λαλεῖν μάθῃ· τὸν δ' ἕτερον, ἵνα σιγᾶν'.

26 *Ζήνωνος.*

---

1 ecl. sine lemm. hab. S, addito lemm. M A. eclogam et lemma iterat corp. Par. 690 Elt. cf. Quintilian. inst. or. IV 2, 117 ‖ 2 *Ἀκαδημείᾳ* Meineke: *ἀκαδημία* (-ᾳ) S M A corp. Par. ‖ 3 *ἀφρόνων* S M corp. Par.: *ἀφρόνῶν*^{σ} A, corr. A² ut videtur, unde *ἀφρόνως* Meineke ‖ 5 *πλημμελήσεις* libri nisi quod *ἁμαρτήσεις* corp. Par. ‖ 6 ecl. cum lemm. hab. S M A; *δημο*^{ς} suo more S. lemma et eclogam iterat corp. Par. 691 Elt. eadem legitur Democrat. 52. cf. quae monet Sternbach ad gnomol. Vatic. 131 ‖ 8 ecl. hab. S M A (post ecl. 36, 24) Mac. Chrys. (post ecl. 36, 20) Br (in calce capitis 33); lemma adiciunt M A omittunt S Br Mac. iterat eclogam et lemma corp. Par. 692 Elt. cf. gnomol. Vatic. 362: *'Ο αὐτος* (id est *Ἰσοκρ.*) *Κλέωνος τοῦ Κυζικηνοῦ φύσει ὄντος λάλου καὶ σχολάζειν βουλομένου διττοὺς ᾔτησε* [*τοὺς*] *μισθούς, ἕνα μέν, ἵνα λαλεῖν μάθῃ, ἕτερον δέ, ἵνα σιγᾷ.* Caecil. Balb. Monac. XXVII 3 p. 29 Woelffl. ‖ 9 *ὁ ῥήτωρ Καρεῶνος ὄντος* om. Br | *Καρίωνος* (usitatum est *Καρίωνος* coqui nomen et *λάλου*: Aristoph. Plut., Themist. *βασανιστῇ* cf. Mein. com. IV p. 701, Petron.) Buecheler: *Καρεῶνος* (-*έωνος* M) libri; 'Careonis nomen plane inauditum est, Cleonis vero Cyziceni memoriam alibi non extare ingenue fatendum, nisi Caecil. Balb. excipias, qui *Cleonam* (sic) adgnoscit' Sternbach l. c. | *καὶ* om. Br ‖ 10 *αὐτῶ* S M A corp. Par.: *παρ' αὐτῷ* Br ubi legitur *λάλου παρ' αὐτῷ σχολάζειν β.* | *δὲ* M ‖ 11 *ἕνα μὲν ἔφη* Br: *ἕνα ἔφη μὲν* S M A Mac. corp. Par. | *λέγειν* pro *λαλεῖν* requirit Meineke, at sine sui contemptu Euripides Aristophanis ran. 954: *ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα.* audiatur etiam Menander Stobaei III 38, 17 p. 702, 5 | *μάθῃ* S M corp. Par.: *μάθῃς* A Br Mac. quod receperunt Gaisford et Meineke ‖ 12 *δ'* ut videtur

Ζήνων τῶν μαθητῶν ἔφασκεν τοὺς μὲν φιλολόγους εἶναι, τοὺς δὲ λογοφίλους.

27 *Θεοκρίτου.*

⟨Θεόκριτος⟩ ἐριστικοῦ ἀνδρὸς ἐρωτῶντος αὐτόν, εἰ ἡ ἀρετὴ ὠφέλιμος, ἀνένευσεν, οὐ βουλόμενος παρασχεῖν αὐτῷ ἐκ τῆς ἀποκρίσεως ἀφορμὴν εἰς ἔριν.

28 *Ἀπολλώνιος τοῖς γνωρίμοις* (epistologr. gr. p. 126 Herch.).

Πολυλογία πολλὰ σφάλματα ἔχει, τὸ δὲ σιγᾶν ἀσφαλές.

29 *Ἀπολλώνιος Εὐφράτῃ* (ibid. p. 125).

Οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι. οἱ οὖν ἀδολέσχαι, εἰ ἠνιῶντο ὡς ἀνιῶσιν, οὐκ ἂν ἐμακρηγόρουν.

30 *Εὐσεβίου* (fr. 34 phil. graec. III p. 12 Müll.).

Ἄνθρωποι λόγων κούφων μέγα ὀδόντας ἕρκος ἐκτέα-

S A: *δὲ* M Br corp. Par. | *σιγᾶν* libri nisi quod *σιγᾷ* corp. Par. ‖ **13** ecl. sine lemm. hab. S, addito lemm. M A

1 *ἔφασκεν* S M ‖ **3** ecl. cum lemm. hab. S M A; *θεο*ς S. cf. Stob. II 2, 19 ‖ **4** *Θεόκριτος* addidi. Theocriti Chii chriae vel apophthegmata quae servavit Stobaeus, ab ipso nomine incipiunt omnia, ut excerpta videantur ex quadam collectione alphabetica. Zenonis apophthegma Theocriteo excipitur etiam supra 19. 20, Theocriti post Theodori dictum legitur III 2, 33. nescio an pelluceant pristini ordinis vestigia. de chriis Theocrito adscriptis (*ἔγραψε χρείας* Suid. v. *Θεόκρ.*) recte iudicavit C. Mueller fr. hist. gr. II p. 87 ‖ **7** ecl. cum lemm. hab. S M A; *ἀπολλ̃* nec plura S *ἀπολλώνιος* (sic M A², *-ίου* A¹ ut videtur) *τοῖς γνωρίμοις* M A. iterat eclogam et lemma *Ἀπολλωνίου* corp. Par. 693 Elt. cf. Stob. III 33, 13 et quae adnotavit Sternbach ad gnomol. Vatic. 131 ‖ **10** ecl. cum lemm. hab. S M A (post ecl. 36, 28) Br (post ecl. 36, 22); *τ̆ αυ*τ nec plura S *ἀπολλώνιος* (*τοῦ αὐτοῦ* A) *εὐφράτῃ* M A *ἀπολλωνίου* nec plura Br ‖ **11** *οἱ οὖν ἀδολέσχαι* (*ἀδόλεσχοι* M *ἀδολέσχοι* Br) *εἰ* S M Br: *οἱ οὖν* Ἀ (littera deformi) *ἀδόλεσχοι* A¹, inde *εἰ οὖν οἱ ἀδ.* corr. A²; *οἱ γοῦν* Wachsmuth. an *οἱ δ' οὖν*? ‖ **12** *ἠνίωντο* M | post ecl. 36, 29 temere iterat Br eclogam III 6, 62 *κάτων τοὺς σπουδάζοντας* dein sine lemmate subicit *πρῶτος λέγειν μὴ ἐπιτήδευε· μετὰ γὰρ πλείονας λέγων ὄψει μᾶλλον τὰ συμφέροντα* i. e. Clitarchi sententiam (39 Elt. *Ἐν συλλόγῳ πρῶτος λέγειν κτέ.*) a Stobaei memoria alienam ‖ **14** ecl. cum lemm. hab. S M A. cf. Plut. de garrul. p. 503 C ‖ **15** *ὀδόντας* Meineke: *ὀδόντων* S M A | *ἐκτέανται* S

ται. ἀλλὰ γὰρ ἐπὶ παντὶ νόου χρήζομεν· ἐπεὶ ἐὰν οὗτος μὴ κατιθύνῃ αὐτὰ τὰ ἔπεα, πρὶν βουλευθῆναι ἐκφεύγει πολλάκις καὶ κατηλογήσαντα τοσούτου ἕρκεος ἄκριτα προεκθρώσκει.

31 Ξενοφῶντος ἐκ τῆς Κύρου παιδείας (I 4, 3).

Ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ μὲν αὐτὸς τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπὸ ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο, ὥστ᾽ ἐκ πάντων τούτων πολυλογία συνελέγετο αὐτῷ. ἀλλ᾽ ὥσπερ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι αὐτοῖς νεαρὸν ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλὰ πραότης τις καὶ φιλοστοργία, ὥστ᾽ ἐπεθύμει ἄν τις ἔτι πλείω ἀκούειν αὐτοῦ ἢ σιωπῶντι παρεῖναι.

---

1 παντὶ S M A, παντὸς Tr. p. 180, unde vulg. | νοῦ M | χρήζομεν S M A: χρηΐζομεν Meineke ut supra p. 435, 16 | ἐὰν Meineke: ἂν S M A ‖ 3 κατηλόγησαν τὰ M ‖ 5 ecl. cum lemm. hab. SMA; deest libri indiculus ‖ 6 αὐτὸς S M A: αὐτὸς ἀεὶ tacite ex Xen. Gesn.[1] p. 220, inde vulg. ‖ 7 τυγχάνοι sed οι in ras. M[1]. fuerat opinor τυγχάνει ut est in non nullis libris Xenophontis ‖ 8 post ὅσα inseruit δ᾽ A[2] ‖ 9 ἀπεκρίνετο S M A Xen.: ἀπεκρίνατο Tr. p. 180, inde vulg. | τούτων ⟨ἡ⟩ πολυλογία tacite ex Xen. Gesn.[1], inde vulg. ‖ 10 ὥσπερ ⟨γὰρ⟩ ἐν tacite ex Xen. Gesn.[1], inde vulg. | σώμασιν S M A ut Xenophontis Erlang.: σώματι Xen. ‖ 11 τι αὐτοῖς νεαρὸν S M A: τὸ νεαρὸν αὐτοῖς Xenophontis meliores ‖ 12 οὕτωσ M ‖ 13 ἀλλὰ πραότης τις (vel τίς) S M A (sic): ἀλλ᾽ ἁπλότης Xen. ‖ 14 ἔτι πλείω Xen.: ἐπιπλείω S A ἐπὶ πλείω M | ἀκούειν αὐτοῦ S M A ut Xenophontis Erlang.: αὐτοῦ ἀκούειν Xen. ‖ 15 σιωπῶντι S A Xen.: σιωπᾶν τι M

CAPVT XXXVII.

ΠΕΡΙ ΧΡΗΣΤΟΤΗΤΟΣ.

1 *Μενάνδρου* (fab. inc. fr. 273 com. IV p. 292).
Οὐθεὶς πονηρὸν πρᾶγμα χρηστὸς ὢν ποεῖ.

2 *Τοῦ αὐτοῦ* (ibid. fr. 274).
Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη.

3 *Θεόγνιδος* (319—322).
Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ' ἔν τ' ἀγαθοῖς κείμενος ἔν τε κακοῖς.
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων βίοτον οὐ δύναται κατέχειν.

4 *Σοφοκλῆς Ἠλέκτρᾳ* (1082 sq.).
ΧΟΡ. Οὐδεὶς τῶν ἀγαθῶν ζῶν κακῶς
εὔκλειαν αἰσχῦναι θέλει.

5 *Μενάνδρου* (fab. inc. fr. 48 com. IV p. 249).
Σὺ μὲν παραινεῖς ταῦτα· πῶς οὔ; σοὶ πρέπει.

Caput XXXVII afferunt S M A, aliquot eclogas Br et Mac. Chrys. titulum addunt omnes sic ut Photius, etiam numerum S M A Mac., sed *λα'* (corr. ex *λγ*) S ‖ **3** ecl. cum lemm. hab. S M A Mac. Chrys., sine lemm. Br. iterat eclogam et lemma corp. Par. 694 Elt. cf. Meyer *Vrbin. samml.* p. 441 ‖ **4** *οὐθεὶς* SM Br: *οὐδεὶς* A Mac. corp. Par. | *ποεῖ* S: *ποιεῖ* M A Br Mac. corp. Par. ‖ **5** ecl. cum lemm. hab. S M A; *μενάνδρου* M ‖ **7** ecl. cum lemm. hab. S M A ‖ **9** *δ'* M A Tr. p. 180 Theogn.: *θ'* sed ut cum *δ'* confundi possit S | *ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς* Theognidis A O; vide Osc. Cruegeri de Theogn. diss. p. 22 sq. ‖ **10** *ὀπάσσῃ* tacite Gesn.[1] p. 220, inde vulg.: *ὀπάσῃ* SM *ὀπάσει* A; *ὀπάσσῃ* Theognidis A *ὀπάσσει* rel. ‖ **11** *κακίην* pro *βίοτον* Theogn. ‖ **12** ecl. cum lemm. hab. S M A; *Σοφοκλῆς Ἠλέκτρᾳ. χοροῦ* scripsi: *χοροῦ* (compend.) *σοφο*ς nec plura S *Σοφοκλῆς ἠλέκτρα* M A. legitur ecloga post Sophocleam addito lemmate *Ἐκ τῆς Ἠλέκτρας* Orionis anthologn. VII 11 p. 51 Schneidew. ‖ **14** *αἰσχύναι* libri | *θέλει* libri Stob. Soph.: *θέλοι* Or. ‖ **15** ecl. cum lemm. hab. S M A (post ecl. 37, 4 Mein.), sine lemmate id est lemmate non iterato Br (post ecl. 37, 1 Mein.). recurrit ecloga Maxim. c. 57 p. 665 (*Μενάνδρου*). an Hymnidis est fabulae ut ecl. 18? ‖ **16** *ταῦτα· πῶς οὔ; σοὶ πρέπει* scripsi: *ταῦτα ὅσα σοι πρέπει* libri;

ἐμὲ δὲ ποιεῖν τὸ καθῆκον οὐχ ὁ σὸς λόγος,
εὖ ἴσθ' ἀκριβῶς, ὁ δ' ἴδιος πείθει τρόπος.

6 *Μενάνδρου* (fab. inc. fr. 246 com. IV p. 288).
Ὁ χρηστός ἐστι πολλαχοῦ σωτήριος.

7 *Μενάνδρου* (ibid. fr. 246 b).
Τὸ χρηστὰ πράττειν ἔργον ἔστ' ἐλευθέρου.

8 *Τοῦ αὐτοῦ* (ibid. fr. 246 c).
Μέγιστον ἀγαθόν ἐστι μετὰ νοῦ χρηστότης.

9 *Διφίλου* (fab. inc. fr. 32 com. IV p. 425).
Ὡς μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ.

10 *Μενάνδρου Ὁμοπάτριοι* (fr. 2 com. IV p. 178).
Χρηστοὺς νομιζομένους, ἐφόδιον ἀσφαλὲς
εἰς πάντα καιρὸν καὶ τύχης πᾶσαν ῥοπήν.

11 *Μενάνδρου Παλλακῇ* (fr. 2 com. IV p. 182).
Ἀλλὰ τῶν χρηστῶν ἔχει τιν' ἐπιμέλειαν καὶ θεός.

12 *Μενάνδρου* (fab. inc. fr. 479 com. IV p. 327).
Κἂν ταῖς ἀπορίαις ἔσθ' ὁ χρηστὸς χρήσιμος.

13 *Ἀντιφάνους* (fab. inc. fr. 47 com. III p. 150).
Τρόπος δίκαιος κτῆμα τιμιώτατον.

ταῦθ' ὁποῖά σοι πρ. vel *ταῦθ' ὅσα σοί, πάτερ, πρέπει* vel denique *ταῦτά πως ὅσα σοι πρ.* temptabat Meineke, qui *ταῦτά πως ἅ σοι πρέπει* scripsit in Stobaeo, *ταῦθ' ἃ σοὶ δοκεῖ πρέπειν* Kock com. III p. 175

3 ecl. cum lemm. hab. SMA; *μ^ε* (ut ecl. 5) S *μενάνδρου* M: *τοῦ αὐτοῦ* A. ecloga recurrit flor. Mon. 110 ‖ **5** ecl. hab. lemmate non iterato S, addito lemm. MA; *μενάνδρου* M *τοῦ αὐτοῦ* A ‖ **7** ecl. cum lemm. hab. MA, om. S ‖ **9** ecl. cum lemm. hab. SMA ‖ **10** *Ὡς* Gaisford: *ὦ* SMA ‖ **11** ecl. cum lemm. hab. SMA. cf. lemma flor. 31, 5 Mein. ‖ **12** *χρηστοὺς νομιζομένους* ('ex superioribus pendebat' Buecheler) SMA: *χρηστοῖς νομιζομένοις* Grotius dict. poet. p. 147 quod in Stob. recepit Meineke. *χρηστοὺς νόμιζε μόνους* dubitanter Cobet n. l. p. 89, *χρηστὸς νόμιμός τε νοῦς* Kock com. III p. 105 coll. ecl. 37, 17 v. 1 et 2 ‖ **13** *πᾶσαν ῥοπήν* proposuit Gesn.[2] p. 220 mrg: *ῥοπὴν πᾶσαν* SMA ‖ **14** ecl. cum lemm. hab. SMA; *μ^ε* nec plura S ‖ **15** *τιν'* sed *ν'* in ras. M[1] ‖ **16** ecl. cum lemm. hab. SMA; *μ^ε* S *μενάνδρου* M *τοῦ αὐτοῦ* A ‖ **17** *χρήσιμος* MA: *χρήσιμον* (sic) S; *χρήσιμον* Tr. p. 181, inde vulg. ‖ **18** ecl. cum lemm. hab. SMA. versus est inter monost. relatus 717

14 *Ποσειδίππου* (fab. inc. fr. 6 com. IV p. 526).

Διὰ τὴν τέχνην μὲν γνωρίμους ἐκτησάμην
πολλούς, διὰ τὸν τρόπον δὲ τοὺς πλείστους φίλους.

15 *Πειρίθου* (Eur. fr. 597 N.²).

Τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου·
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
ῥήτωρ δύναιτο, τὸν δ᾽ ἄνω τε καὶ κάτω
λόγοις ταράσσων πολλάκις λυμαίνεται.

16 (37, 17 Mein.) *Θεόγνιδος* (635—636).

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς,
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.

17 (37. 18. 19 Mein.) *Μενάνδρου Ὕμνις* (fr. 1 com. IV p. 209).

Νὴ τὴν Ἀθηνᾶν, μακάριόν τι χρηστότης

---

1 ecl. cum lemm. hab. S M A; *ποσιδι*$^{\pi}$ S *ποσιδίππου* M A. ecloga et lemma iteratur Anton. II c. 83 p. 146 Maxim. c. 57 p. 665 Combef. ‖ 2 pro *τέχνην* non recte *τύχην* Meineke, cf. Iacobi V p. CCCXX Cobet n. l. p. 74 ‖ 4 ecl. cum lemm. *πειρίθου* hab. S M A, *πειρί*^{Θ} (post *Θ* nescio an sit aliquid erasum) A. eclogam et lemma *Πειρίθου* iterat corp. Par. 695 Elt. *Πειρίθους* in poetarum catalogum receptus a pinacographo Photii non aliter est explicandus ac *Δίκτυς* vel *Θελέροφος* apud eundem quasi poetae. in vetustioribus gnomologiis complurium eiusdem poetae eclogarum gregi semel poetae nomen adponi solebat in principio (conferatur Orionis anth.), ut fabularum nomina quibus singulae deinceps eclogae distinguebantur in errorem abducere possent posterioris aevi excerptores velut ipsum Ioannem. sic *Θέστιος* ex *Θυέστου* fabula ortus quasi poeta exstat apud Theophilum ad Autol. II 8 p. 72 ed. Otto quem scimus eodem florilegio usum esse ac Stobaeum. nolui igitur addere *Εὐριπίδου*, quamquam non deest ecl. II 8, 4 Wachsm. et flor. 121, 24. ceterum vide Wilamowitz *Hom. unters.* p. 324 ‖ 5 *δὲ* Tr. p. 181: *ἐστὶ* S M A corp. Par. | *ἀσφαλέστερον* Herwerden exerc. cr. p. 56 ‖ 7. 8 *ῥήτωρ* et *λόγοις* sedem mutare iussit Cobet mnemos. IX p. 134, recte ‖ 8 *λόγος* pro *λόγοις* ex Meinekii coniectura scripsit Nauck (7) idque praebet Maximus c. 57 p. 665 Combef. | *ταράσσων* S M A corp. Par.: *σπαράσσων* Valckenaer diatr. p. 200; Greg. Naz. v. II p. 154 C: *ῥήτωρ πονηρὸς τοὺς νόμους* (*τοῖς νόμοις* Men. mon. 709) *λυμαίνεται* comparavit Nauck ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 37, 15 Mein.), om. M A ‖ 11 *οὐ* pro *οἳ* Theogn. ‖ 12 ecl. cum lemm. hab. S, om. M A; *Ὑμνίς* scripsit Meineke, *Ὕμνις* (ut in S est) Kock com. III p. 135 virum intellegens ‖ 13 *ἀθηνὰν* S | *μακάριόν τι* ci. Meineke: *μακάριον ἣ* S; *μακάριον* ⟨*γ᾽*⟩ *ἡ* Clericus

πρὸς πάντα καὶ θαυμαστὸν ἐφόδιον [τῷ] βίῳ.
τούτῳ λαλήσας ἡμέρας σμικρὸν μέρος
εὔνους ἐγὼ νῦν εἰμι. πειστικὸν λόγος
πρὸς τοῦτ' ἂν εἴποι τις μάλιστα τῶν σοφῶν·
τί οὖν ἑτέρους λαλοῦντας εὖ βδελύττομαι;
τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος.

18 (37, 16 Mein.) *Ἐπιχάρμου* (fr. *25 p. 261 Lorenz.).

Ὁ τρόπος ἀνθρώποισι δαίμων ἀγαθός, οἷς δὲ καὶ κακός.

19 (37, 20 Mein.) *Εὐριπίδου Αὔγης* (fr. 274 N.[2]).

Τὸ δ' ἐπιεικὲς ὠφελεῖ τὰς ξυμφοράς.

20 (37, 21 Mein.) *Θεοφράστου* (fr. CVI Wimmer.).

Ὀλίγων οἱ ἀγαθοὶ νόμων δέονται· οὐ γὰρ τὰ πράγματα πρὸς τοὺς νόμους, ἀλλ' οἱ νόμοι πρὸς τὰ πράγματα τίθενται.

21 (37, 22 Mein.) *Δημοσθένους* (XXXVI § 52 p. 960).

---

1 *τῷ* tacite seclusit Gesn.[1] p. 220, inde vulg. ‖ 2 *μέρος* tacite Gesn.[1], inde vulg.: *μέρους* ex *μέρος* corr. S[1] *μέρους* Tr. p. 181 ‖ 3 *πειστικὸν* ante Meinekium corr. cod. Paris. 1985 m. sec. teste Gaisfordo: *πιστικὸν* S ‖ 5 *λέγοντας* pro *λαλ.* Cobet, sed vide III 36, 25 adn. | *εὖ* Tr.: *εὐ* S; *οὐ* temere Gesn.[1], inde vulg. ‖ 6 versum sine lemmate cum prioribus versibus (37, 18) coniungit S, quod recte fieri vidit Meineke, denuo monuit Cobet mnemos.[2] II p. 101: tamquam novam eclogam addito lemmate hab. M A (post ecl. 37, 15 Mein.), poetae nom. non iterato fabulaeque omisso Br (post ecl. 37, 5 Mein.); *Ὕμνις* Gaisford: *ὕμνης* (sic) M A. iterat eclogam sub lemmate *Ἐπιχάρμης* (sic) omisso Epicharmi versu (37, 16 Mein.) corp. Par. 696 Elt. adfert versum et poetae nomen Plutarchus praec. ger. rei publ. p. 801 C, poetae nomine non commemorato idem de poet. aud. p. 33 F. ceterum mirum in modum aberravit Kock III p. 135 comico adiungens versum Archelai Euripideae (Stob. III 34, 2) ‖ 6 *ἔστω* pro *ἔσθ' ὁ* corp. Par. ‖ 7 ecl. cum lemm. hab. M A (post ecl. 37, 19 Mein.), om. S. cf. quae monui ad ecl. priorem ‖ 8 *καὶ* om. operarius Gesn.[2] p. 220, inde vulg. ‖ 9 ecl. cum lemm. hab. S (post ecl. 37, 19 Mein.) M A (post ecl. 37, 16 Mein.); *αὔγης* A[2]: *αὐγῆς* M A, fab. nom. om. S ‖ 10 *γὰρ* pro *δ'* Grotius dict. poet. p. 147 probabiliter, cf. quae adnotata sunt ad III 30, 6[a]. 36, 16. 38, 13, al. ‖ 11 ecl. cum lemm. hab. S M A (post ecl. 37, 20) Mac. Chrys. (post ecl. 37, 1). ecloga recurrit corp. Par. 489 Elt., sine lemm. (praecedit *Σώστρατος*) ‖ 12 *νόμων* M A corp. Par.: *νόμοι* S ‖ 14 *τίθενται* S A corp. Par.: *τίθονται* M ‖ 15 ecl. cum lemm. hab. S M A. eclogam et lemma iterat corp. Par., nescio nunc ubi

Πολλῶν χρημάτων τὸ χρηστὸν εἶναι λυσιτελέστερόν ἐστιν.

22 (37, 23 Mein.) *Δημοκρίτου* (fr. mor. 114 Mullach.).

Ἀγαθὸν ἢ εἶναι χρεὼν ἢ μιμέεσθαι.

23 (37, 24 Mein.) *Λυκούργου.*

Λυκοῦργος ὁ νομοθέτης εἶπεν τὸ μὲν ἀξιόχρεων τῶν ἀνθρώπων ἐν τῇ οὐσίᾳ κεῖσθαι, τὸ δὲ ἀξιόπιστον ἐν τοῖς τρόποις.

24 (37, 25 Mein.) *Ἀριστίππου.*

Ἀρίστιππος ἐρωτηθεὶς τί θαυμαστόν ἐστιν ἐν τῷ βίῳ, εἶπεν ʽἄνθρωπος ἐπιεικὴς καὶ μέτριος, ὅτι ἐν πολλοῖς ὑπάρχων μοχθηροῖς οὐ διέστραπταιʼ.

25 (37, 26 Mein.) *Δημοκρίτου* (fr. mor. 45 Mullach.).

Οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τουτέοισι καὶ ⟨ὁ⟩ βίος εὖ τέτακται.

26 (37, 27 Mein.) *Σωκράτους.*

---

3 ecl. cum lemm. hab. S M A. cf. Democrat. 5: *Ἀγαθὸν εἶναι χρὴ ἢ μιμεῖσθαι* ‖ 5 ecl. sine lemm. hab. S, addito lemmate M A. iterat eclogam et lemma corp. Par. 698 Elt. ‖ 6 *ἀξιόχρεων* M A: *ἀξιόχρεον* S corp. Par. ‖ 7 *τοῖς τρόποις* S M A: *τῷ τρόπῳ* Tr. p. 181, inde vulg. ‖ 9 ecl. cum lemm. hab. M, sine lemm. S A Br Mac. Chrys.; post ecl. 37, 24 Mein. ponunt S M A, post ecl. 37, 19 Mein. Br, post ecl. 37, 21 Mein. Mac. pro lemm. *Ἀρίστιππος* temere tamquam ex A addidit Gaisford. recurrit locus gnom. Vat. 26 p. 188 Sternb. et cod. Vat. gr. 742 f. 61ʳ teste Sternbachio ‖ 10 *ἐρωτώμενος* gnom. Vat. et cod. Vat. gr. 742 | *θαυμαστόν* S M A Br Mac. gnom. Vat. cod. Vat. gr. 742: *ἀξιο* suprascr. A¹ abductus ut videtur eclogae prioris memoria. nollem *ἀξιοθαύμαστον* scripsisset Meineke | *ἐστιν* om. cod. Vat. gr. 742 | *τῷ* om. cod. Vat. gr. 742 ‖ 11 *εἶπεν* (*εἶπε* A) ante *ἄνθρ.* M A Mac.: *εἶπε* ante *καὶ μέτρ.* S (Tr., inde vulg.); *εἶπεν* om. gnom. Vat., post *ἄνθρ.* ponit cod. Vat. gr. 742 cf. quae adnotavimus supra p. 208, 19. 209, 1 ‖ 13 ecl. cum lemm. hab. S M A. eadem sententia legitur Democrat. 26. cf. Anton. II c. 83 p. 146 Maxim. c. 57 p. 665 Combef. ‖ 14 *Οἷσιν* libri: *τοῖσι* Mullach | *τουτέοισι* (vel *-σιν*) S M A Democrat. nolui igitur corrigere *τούτοισι* | *ὁ* addidit Meineke ‖ 15 *εὖ τέτακται* proposuit Meineke: *συντέτακται* libri; *ξυντέτακται* scripsit Mullach ‖ 16 ecl. cum lemm. hab. S M A; *σω*ˢ uti solet S

Ἡ μὲν ἐσθὴς τὴν ἀρρυθμίαν, ἡ δὲ εὔνοια τὴν ἁμαρτίαν περιστέλλει.

27 (37, 28 Mein.) *Ἐκ τοῦ Ξενοφῶντος Οἰκονομικοῦ* (VI 12—16).

